νοεῖν τι τῶν κεχωρισμένων, τουτέστιν οὐσίαν τινὰ τῶν κεχωριστῶν, ἢ μή. Τουτὶ γὰρ τὸ ζήτημα ἐνταῦθα διορισθῆναι οὐκ ἠδύνατο, διότι οὔπω γέγονε φανερὸν εἶναί τινας οὐσίας κεχωρισμένας, οὐδὲ τίνες αὗται, ἢ ποῖαι εἰσίν. Ὅθεν τοῦτο τὸ ζήτημα μᾶλλον ἀνήκει τῇ πρώτῃ φιλοσοφίᾳ, οὐ μέντοι γε εὑρίσκεται τοῦτο λελυμένον ἐκεῖ παρ' αὐτοῦ ἢ διὰ τὸ μὴ συμπεπληρωμένην πω τὴν ἐπιστήμην ἐκείνην παρὰ τοῖς Λατίνοις ἐλθεῖν, ἢ διὰ τὸ μήπω τὸ βιβλίον ὅλον ἑρμηνευθῆναι, ἢ ἴσως διὰ τὸ μηδὲ αὐτὸν τὴν πραγματείαν αὐτὴν συμπληρώσασθαι, κατειληφότος αὐτὸν τοῦ θανάτου. Δεῖ μέντοι γε
f. 340v κατανοεῖν, ὅτι τὸν νοῦν ἐνταῦθα φησὶ μὴ κεχωρισμένον | τοῦ σώματος, καθόσον ἐστὶ δύναμίς τις τῆς ψυχῆς, ἥτις ψυχὴ ἐστὶν ἐντελέχεια σώματος φυσικοῦ. Πρότερον μέντοι τοῦτον ἔλεγε κεχωρισμένον τοῦ σώματος διὰ τὸ μὴ ἔχειν ὄργανόν τι ἀφωρισμένον τῇ ἐνεργείᾳ αὐτοῦ.

## Leçon XIII.

Νῦν δὲ περὶ ψυχῆς. Διορισάμενος ὁ Φιλόσοφος περὶ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ διὰ τῶν εἰρημένων, περὶ ἑκατέρου τούτων ἐνταῦθα δείκνυσι τί δεῖ περὶ τῆς φύσεως φρονεῖν τῆς ψυχῆς, καὶ διαιρεῖται εἰς δύο μέρη. Ἐν τῷ πρώτῳ δείκνυσιν ὅτι ἡ τῆς ψυχῆς φύσις τρόπῳ μέν τινι ἔστιν ὡς οἱ ἀρχαῖοι παραδεδώκασι, τρόπον δέ τινα ἄλλως. Ἐν δὲ τῷ δευτέρῳ δείκνυσιν, ὅπως ὁ νοῦς ἤρτηται τῆς αἰσθήσεως, ἐν τῷ· Ἐπεὶ δὲ οὔτε τὰ πράγματα. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ ψυχὴ τρόπον τινὰ ἐστὶ πάντα, ὡς οἱ ἀρχαῖοι ἔλεγον· δεύτερον, δείκνυσιν ὅτι ἄλλως ἐστὶν ἡ ψυχὴ πάντα, καὶ οὐχ ὡς ἐκεῖνοι τοῦτ' ἔλεγον, ἐν τῷ· Ἀνάγκη δέ.

Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπανακεφαλαιούμενοι νῦν τὰ εἰρημένα περὶ ψυχῆς, ὡς ἂν ἐντεῦθεν τὸ προκείμενον δείξωμεν, εἴπωμεν ὅτι ἡ ψυχὴ τρόπον τινὰ ἐστὶ πάντα τὰ ὄντα· πάντα γὰρ τὰ ὄντα ἢ αἰσθητὰ εἰσίν, ἢ νοητά· ἡ δὲ ψυχὴ ἐστὶ τρόπον τινὰ καὶ τὰ αἰσθητὰ καὶ τὰ νοητά, διότι ἐν τῇ ψυχῇ ἐστὶν ἡ αἴσθησις καὶ ὁ νοῦς, εἴτουν ἡ ἐπιστήμη. Ἡ δὲ αἴσθησις ἐστὶ τρόπον τινὰ αὐτὰ τὰ αἰσθητά, καὶ ὁ νοῦς, τὰ νοητά, εἴτουν τὰ ἐπιστητά· πῶς δ' ἂν εἴη τοῦτο, δεῖ ζητεῖν. Ἡ γὰρ αἴσθησις καὶ ἡ ἐπιστήμη διαιροῦνται εἰς τὰ πράγματα, τουτέστι διαιροῦνται εἰς τὴν ἐνέργειαν καὶ τὴν δύναμιν, ὥσπερ καὶ τὰ πράγματα, οὕτω μέντοι γε ὥστε τὴν δυνάμει αἴσθησιν καὶ ἐπιστήμην ἔχειν πρὸς τὰ δυνάμει αἰσθητὰ καὶ ἐπιστητά, τὴν δὲ ἐνεργείᾳ αἴσθησιν καὶ ἐπιστήμην, ὁμοίως πρὸς τὰ ἐνεργείᾳ αἰσθητὰ καὶ ἐπιστητά. Ἀλλ' ἡ δύναμις τῆς ψυχῆς ἡ αἰσθητικὴ καὶ ἡ ἐπιστημονική, ἤγουν ἡ νοητική, οὐκ ἔστιν αὐτὸ τὸ αἰσθητόν, ἢ ἐπιστητόν, ἀλλ' ἔστιν ἐν δυνάμει πρὸς αὐτά, τὸ μὲν αἰσθητικὸν πρὸς τὸ αἰσθητόν,

---

8 *αὐτὸν* om A 12 *τι* om B 23 *τοῦτ'* om B

Ε.Υ.Δ της Ε.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸ δὲ νοητικὸν ἢ ἐπιστημονικὸν πρὸς τὸ ἐπιστητόν. Καταλείπεται τοίνυν, ὅτι ἐν τῇ ψυχῇ τρόπον τινὰ πάντα τὰ ὄντα εἰσίν.

Ἐφεξῆς λέγων· Ἀνάγκη δέ, δείκνυσιν ὅτι ἄλλον τρόπον ἐστὶν ἡ ψυχὴ πάντα παρὰ τὸν τοῖς ἀρχαίοις τεθειμένον, καὶ φησὶν ὅτι, εἰ ἡ ψυχὴ ἐστὶ πάντα, ἀνάγκη τὴν ψυχὴν ἢ αὐτὰ εἶναι τὰ αἰσθητὰ πράγματα καὶ τὰ ἐπιστητά, ὥσπερ Ἐμπεδοκλῆς ἔλεγε τὴν μὲν γῆν γῇ γινώσκειν ἡμᾶς, ὕδωρ δὲ τῷ ὕδατι, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ εἶναι αὐτὴν τὰ εἴδη τούτων. Αὐτὰ μὲν οὖν τὰ πράγματα οὐκ ἔστιν ἡ ψυχή, ὥσπερ ἐτίθεσαν ἐκεῖνοι, διότι ὁ λίθος οὐκ ἔστιν ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶδος τοῦ λίθου. Καὶ κατὰ τοῦτον τὸν τρόπον λέγεται ὁ ἐνεργείᾳ νοῦς εἶναι αὐτὸ τὸ ἐνεργείᾳ νοηθέν, καθόσον τὸ εἶδος τοῦ νοητοῦ ἐστιν εἶδος τοῦ ἐνεργείᾳ νοῦ· ἐξ οὗ δῆλον τὴν ψυχὴν ἀφωμοιῶσθαι χειρί· ἡ γὰρ χεὶρ ὄργανον ὀργάνων ἐστί, διὰ τὸ τὰς χεῖρας δοθῆναι τῷ ἀνθρώπῳ ἀντὶ πάντων τῶν ὀργάνων, ἃ τοῖς ἄλλοις δέδονται ζῴοις πρὸς ἄμυναν, ἢ μάχην, ἢ σκέπην· πάντα γὰρ ταῦτα ὁ ἄνθρωπος κατασκευάζει ἑαυτῷ ταῖς ἰδίαις χερσίν. Ὡσαύτως δὲ καὶ ἡ ψυχὴ δέδοται τῷ ἀνθρώπῳ ἀντὶ πάντων τῶν εἰδῶν, ὥστ' εἶναι τὸν ἄνθρωπον τρόπον τινὰ ὅλον τὸ ὄν, ἐφόσον κατὰ τὴν ψυχὴν τρόπον τινὰ πάντα τὰ ὄντα ἐστίν, ὡς τῆς ψυχῆς δεκτικῆς τῶν εἰδῶν οὔσης πάντων. Ὅ τε γὰρ νοῦς ἐστὶν εἶδος δεκτικὸν πάντων τῶν νοητῶν εἰδῶν καὶ ἡ αἴσθησις, τρόπον τινά, δεκτικὴ πάντων τῶν αἰσθητικῶν εἰδῶν.

Ἐφεξῆς λέγων· Ἐπεὶ δέ. Ἐπειδὴ εἶπε τὸν νοῦν εἶναι τρόπον τινὰ τὰ νοητά, ὡς καὶ ἡ αἴσθησίς ἐστι τὰ αἰσθητά, δυνατὸν ἦν τινα νομίσαι, ὅτι ὁ νοῦς οὐκ ἤρτηται τῆς αἰσθήσεως. Καὶ τοῦτ' ἀληθὲς ἂν ἦν, εἰ τὰ νοητὰ τῷ ἡμετέρῳ νῷ ἐκεχώριστο τῶν αἰσθητῶν κατὰ τὸ εἶναι, ὡς ἐτίθεσαν οἱ Πλατωνικοί· καὶ τούτου χάριν ἐνταῦθα δείκνυσιν, ὅτι ὁ νοῦς δεῖται τῆς αἰσθήσεως, καὶ ὕστερον ὅτι ὁ νοῦς διαφέρει τῆς φαντασίας, ἢ καὶ τῆς αἰσθήσεως ἤρτηται, ἐν τῷ· Ἔστι δὲ ἡ φαντασία. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ οὐδὲν πρᾶγμα ἐστὶ νοούμενον ὑφ' ἡμῶν παρὰ τὰ μεγέθη τὰ αἰσθητά, ὥσπερ ἀπ' αὐτῶν κεχωρισμένον κατὰ τὸ εἶναι, ὥσπερ τὰ αἰσθητὰ φαίνονται ἀπ' ἀλλήλων κεχωρισμένα, ἀνάγκη ἐστὶ τὰ νοητὰ τοῦ ἡμετέρου νοῦ ἐν τοῖς εἴδεσιν εἶναι τοῖς αἰσθητοῖς κατὰ τὸ εἶναι, τά τε κατὰ ἀφαίρεσιν λεγόμενα, δηλονότι τὰ μαθηματικά, καὶ τὰ φυσικά, ἅπερ εἰσὶν ἕξεις καὶ πάθη τῶν αἰσθητῶν. Καὶ διὰ τοῦτο χωρὶς αἰσθήσεως οὐ δύναταί τι ὁ ἄνθρωπος μαθεῖν ὥσπερ ἐκ νέου κτώμενος ἐπιστήμην, οὔτε συνιέναι ὡς χρώμενος | τῇ κτηθείσῃ ἐπιστήμῃ, ἀλλὰ δεῖ τοῦτον, f. 341
ὁπόταν τι θεωρῇ κατ' ἐνέργειαν, ἅμα τυποῦν ἑαυτῷ φάντασμά τι· τὰ γὰρ φαντάσματα εἰσὶν ὁμοιότητες τῶν αἰσθητῶν· ἀλλ' ἐν τούτῳ διαφέρουσιν

---

1 *ἤγουν* B 2 *ἅπαντα* B 7 *ὡς* B 14 *δέδοται* B 22 *ἐστι* om B
26 *ὁ νοῦς* avant *διαφέρει* om B 28 *ἐπεὶ* B

ἐκείνων, τῷ εἶναι ἄνευ τῆς ὕλης· ἔστι γὰρ αἴσθησις δεκτικὴ τῶν εἰδῶν ἄνευ ὕλης, ὡς εἴρηται πρότερον, ὅτι φάντασμα ἐστὶ κίνησις ἀπὸ τῆς ἐνέργεια αἰσθήσεως γινομένη. Φαίνεται δὲ ἐντεῦθεν ψεῦδος εἶναι καὶ ὅ φησιν Ἀβινσένας, ὅτι ὁ νοῦς οὐ δεῖται τῆς αἰσθήσεως μετὰ τὸ τυχεῖν τῆς ἐπιστήμης· φανερὸν γάρ ἐστιν, ὅτι καὶ μετὰ τὸ κτήσασθαι τινὰ τὴν ἕξιν τῆς ἐπιστήμης, ἀνάγκη τοῦτον πρὸς τὸ θεωρεῖν χρῆσθαι φαντάσματι· καὶ διὰ τοῦτο τῇ τοῦ ὀργάνου βλάβῃ κωλύεται ἡ χρῆσις τῆς ἐπιστήμης, τῆς ἤδη πεπορισμένης.

Ἐφεξῆς λέγων· Ἔστι δὲ ἡ φαντασία, δείκνυσι τὴν διαφορὰν τοῦ νοῦ καὶ τῆς φαντασίας, καὶ πρῶτον ὅσον πρὸς τὴν ἐνέργειαν τοῦ νοῦ, ἥτις ἐστὶν ἡ σύνθεσις καὶ διαίρεσις, λέγων ὅτι ἡ φαντασία ἕτερόν ἐστι τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως τοῦ νοῦ· ἐν γὰρ τῇ συμπλοκῇ τῶν νοητῶν ἤδη ἐστὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὅπερ οὐκ ἔστιν ἐν τῇ φαντασίᾳ· τὸ γὰρ γινώσκειν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μόνον ἐστὶ τοῦ νοῦ. Δεύτερον, ἐν τῷ· Τὰ δὲ πρῶτα νοήματα, ζητεῖ ἐν τίνι διαφέρουσι τὰ πρῶτα νοήματα, τουτέστιν αἱ νοήσεις τῶν ἀδιαιρέτων, τοῦ μὴ εἶναι φαντάσματα. Καὶ ἀποκρίνεται, ὅτι οὐκ εἰσὶν ἄνευ φαντασμάτων, ἀλλ' ὅμως οὐκ εἰσὶ φαντάσματα, διότι τὰ φαντάσματα εἰσὶν ὁμοιότητες τῶν μερικῶν· τὰ δὲ νοήματά εἰσι καθόλου ἐκ τῶν ἀτομικῶν ἰδιωμάτων ἀφαιρεθέντα· ὅθεν τὰ φαντάσματα εἰσὶν ἀδιαίρετα δυνάμει, καὶ οὐκ ἐνεργείᾳ.

## Leçon XIV.

Ἐπεὶ δὲ ἡ ψυχή. Διορισάμενος ὁ Φιλόσοφος περὶ τῶν μερῶν τῆς ψυχῆς τοῦ τε θρεπτικοῦ, τοῦ αἰσθητικοῦ καὶ τοῦ νοεροῦ, νῦν, τέταρτον, διορίζεται περὶ τοῦ κινητικοῦ μέρους αὐτῆς, καὶ διαιρεῖται εἰς δύο μέρη. Ἐν τῷ πρώτῳ λέγει περὶ τίνος ἐστὶν ὁ σκοπός. Ἐν τῷ δευτέρῳ ἐπεξεργάζεται, ἐν τῷ· Ἔχει δὲ ἀπορίαν. Φησὶ τοίνυν, πρῶτον, ὅτι ἐπειδὴ ἡ ψυχή, λέγω δὲ τῶν ζῴων, ὥρισται καὶ ὑπὸ τῶν ἀρχαίων φιλοσόφων κατὰ δύο δυνάμεις, τουτέστι καθὸ ἔχει δύναμιν πρὸς δύο, ὧν θάτερον μέν ἐστιν ἡ κρίσις, γινομένη διὰ γνώσεως, καὶ ἔστιν αὕτη ἡ κρίσις ἔργον τοῦ διανοητικοῦ καὶ αἰσθητικοῦ μέρους· θάτερον δὲ ἐστι τὸ κατὰ τόπον κινεῖν. Περὶ μὲν τῆς αἰσθήσεως καὶ τοῦ νοῦ τοσαῦτα διώρισται, ὅσα ἐν τοῖς προλαβοῦσι περιείληπται. Ἀλλὰ νῦν θεωρητέον ἐστὶν περὶ τῆς κινούσης ἀρχῆς, τί τῆς ψυχῆς ἐστί, πότερον δηλονότι μέρος τί ἐστι τῆς ψυχῆς χωριστὸν τῶν ἄλλων, ἢ μεγέθει, τουτέστιν ὑποκειμένῳ, καὶ οὕτως ὥστ' ἔχειν τόπον τινὰ ἐν τῷ σώματι διωρισμένως τῶν ἄλλων δυνάμεων, ὡς οἱ Πλατωνικοὶ ἐτίθεσαν· ἢ χωριστὸν τῶν ἄλλων μερῶν λόγῳ μόνον· πότερον τοίνυν μέρος ἐστὶ τοιοῦτον, ἢ οὐκ ἔστι μέρος τῆς ψυχῆς, ἀλλὰ ὅλη ἐστὶν ἡ

---

18 *οὐκ* avant *εἰσὶν* add B  28 *κατὰ* om B  38 *ἐστὶν* avant *ἡ* om B

ΙΩΑΝΝΙΝΑ 2006 Ε.Υ.Δ της Κ.Τ.Π

ψυχή. Καὶ δοθέντος τοῦ εἶναί τι μέρος τῆς ψυχῆς, λοιπόν ἐστιν αὖθις θεωρεῖν πότερόν ἐστιν ἄλλο τι μέρος τῆς ψυχῆς παρὰ τὰ εἰωθότα λέγεσθαι ὑπ' ἄλλων καὶ παρὰ τὰ ὑφ' ἡμῶν εἰρημένα, ἢ ἕν τί ἐστι τούτων.

Ἐφεξῆς λέγων· Ἔχει δὲ ἀπορίαν, ἐπεξέρχεται τῇ ἰδίᾳ προθέσει, καὶ πρῶτον μὲν διαλεκτικῶς, δεύτερον δὲ διοριστικῶς, ἐν τῷ· Φαίνεται δέ γε δύο. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διαλέγεται κατὰ τῆς διακρίσεως τῶν ψυσικῶν δυνάμεων· δεύτερον, εἰδικῶς κατὰ τῆς κινητικῆς ἀρχῆς, τί μέρος τῆς ψυχῆς ἐστίν, ἐν τῷ· Ἀλλὰ περὶ τῆς κατὰ τόπον. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, ἀναλαμβάνει τὴν διαίρεσιν τῶν δυνάμεων τῆς ψυχῆς, ἥν τινες ἐτίθεσαν· δεύτερον, διαλέγεται κατ' αὐτῶν, ἐν τῷ· .... Λέγει τοίνυν, πρῶτον, ὅτι εὐθὺς ἐν ἀρχῇ ταύτης τῆς ζητήσεως ἔχει ἀπορίαν πῶς ἂν δέοι διακρίνειν τὰ τῆς ψυχῆς μόρια, καὶ πόσα εἰσί, διότι κατά τινα τρόπον δοκοῦσιν εἶναι ἄπειρα, τουτέστι μὴ δύνασθαι ἐμπεριλαμβάνεσθαι ἀριθμῷ τινι ῥητῷ. Καὶ τοῦτ' ἀληθὲς ἂν ἦν, εἰ πάσαις ταῖς τῆς ψυχῆς ἐνεργείαις καὶ ταῖς ἀπὸ τῆς ψυχῆς κινήσεσιν ἀνάγκη ἦν ἀποδιδόναι διάφορα τῆς ψυχῆς μέρη, καὶ οὕτω δοκεῖ μὴ μόνον ἐκεῖνα εἶναι τὰ μέρη, ἅ τινες διορίζονται, δηλονότι τὸ λογιστικόν, τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν· καὶ αὕτη γε ἡ διαίρεσις οὐ περιείληφε πάντα τὰ τῆς ψυχῆς μέρη, ἀλλὰ μόνον τὰς ἐν τῷ ἀνθρώπῳ κινητικὰς δυνάμεις. Ἄλλοι δὲ διακρίνουσι τὰς δυνάμεις τῆς ψυχῆς κατὰ τὸ λόγον ἔχον, καὶ τὸ ἄλογον· καὶ αὕτη ἡ διάκρισις, εἰ καὶ κατά τινα τρόπον περιλαμβάνει πάντα τῆς ψυχῆς τὰ μέρη, οὐ μέντοι γε ἐστὶ κυρία διάκρισις τῶν τῆς ψυχῆς μερῶν, καθὸ εἰσι μέρη τῆς ψυχῆς, ἀλλὰ μόνον καθό εἰσιν ἐν τῇ ψυχῇ τῇ λόγον ἐχούσῃ, | καὶ οὕτω χρῆται ταύτῃ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν ἠθικῶν. f. 341v

Ἐφεξῆς λέγων· Κατὰ γὰρ τὰς διαφοράς, ἀντεπάγει κατὰ τῶν προειρημένων διακρίσεων πολλαχῶς. Καὶ πρώτη ἀντίθεσις ἢ ἀπάντησις ἐστὶν ὅτι, εἰ αὗται αἱ διαφοραί, καθ' ἃς διαιροῦσί τινες τὰ τῆς ψυχῆς μέρη, ἀρκοῦσι πρὸς τὸ συστήσασθαι τὴν τῶν μερῶν διάκρισιν, εὑρίσκονται καὶ ἄλλα μόρια μείζω διάστασιν ἔχοντα καὶ διαφορὰν ἐν ἀλλήλοις ἢ ταῦτα τὰ εἰρημένα, περὶ ὧν καὶ εἴρηται ἐν τῷ παρόντι βιβλίῳ. Τὸ γὰρ θρεπτικὸν τῆς ψυχῆς μόριον ἔστιν ἐν τοῖς φυτοῖς καὶ πᾶσι τοῖς ζῴοις εἴτουν τοῖς ζῶσι, καὶ τὸ αἰσθητικὸν ἐν πᾶσι τοῖς ζῴοις ἔστι. Καὶ φανερόν ἐστιν, ὅτι τὸ θρεπτικὸν καὶ αἰσθητικὸν πλέον ἀλλήλων διαφέρουσι, καὶ τοῦ λογικοῦ, καὶ θυμικοῦ, καὶ ἐπιθυμητικοῦ, ἢ τὸ θυμικὸν διενήνοχε τοῦ ἐπιθυμητικοῦ, καὶ ὅμως αἱ δύο αὗται δυνάμεις οὐκ ἐμπεριλαμβάνονται ἐκείναις ταῖς διαιρέσεσι. Καὶ ὅτι μὲν οὐ περιλαμβάνονται ἐν τῇ πρώτῃ διαιρέσει, φανερόν ἐστιν· δῆλον γάρ ἐστιν, ὅτι οὔτε τὸ θρεπτικόν, οὔτε τὸ αἰσθητικὸν δυνατὸν λογικὸν λέγεσθαι, ἢ ἐπιθυμητικόν, ἢ θυμικόν. Ὅθεν

---

11 blanc après *ἐν τῷ* AB 16 *ἀποδίδοσθαι* B



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦτ' ἀφείς, δείκνυσιν ὅτι οὐ περιέχονται ὑπὸ τῇ δευτέρᾳ διαιρέσει, λέγων ὅτι οὐ ῥᾳδίως ἄν τις θείη τὸ θρεπτικὸν καὶ αἰσθητικὸν ὡς ἄλογον, ἢ ὡς λόγον ἔχον. Καὶ ὅτι μὲν οὐδέτερον τούτων ἔχει λόγον, φανερόν ἐστιν αὐτόθεν. Ὅτι δὲ οὐδὲ ἄλογον ἐστίν, ἐντεῦθεν γένοιτ' ἂν δῆλον· ἄλογον γάρ ἐστιν ἢ τὸ ἐναντίον τῷ λόγῳ, ἢ τὸ πεφυκὸς ἔχειν λόγον καὶ μὴ ἔχον, ὧν οὐδέτερον ἁρμόττει τοῖς εἰρημένοις μέρεσιν. Εἰ δὲ λέγοι τις τὴν ἀπόφασιν τοῦ λόγου μόνον, οὐκ ἂν δύναιτο τίθεσθαι γένος τῶν δυνάμεων τῆς ψυχῆς. Ὅθεν φαίνεται τὰς προειρημένας διαιρέσεις τῶν δυνάμεων ἀναρμόστους εἶναι.

Δεύτερον τίθησι λόγον πρὸς τὸ αὐτό, ἐν τῷ· Ἔτι δὲ τὸ φανταστικόν, λέγων ὅτι τὸ φανταστικὸν μόριον τῆς ψυχῆς, ὃ τῶν ἄλλων ἁπάντων τῷ λόγῳ διενήνοχεν, ἔχει πολλὴν ἀπορίαν, τίνι τῶν προειρημένων δυνάμεων ταὐτὸν ἂν εἴη, ἢ ἕτερον, καὶ μάλιστα εἴ τις τὰ τῆς ψυχῆς μέρη κεχωρισμένα τιθείη, ὡς ἔνιοι ἐτίθεσαν.

Τρίτον τίθησι λόγον πρὸς τὸ αὐτό, ἐν τῷ· Πρὸς δὲ τούτοις, καὶ φησὶν ὅτι καὶ ἡ ὀρεκτικὴ δύναμις δοκεῖ εἶναι καὶ λόγῳ καὶ δυνάμει ἑτέρα πάντων τῶν μερῶν τῆς ψυχῆς, καὶ εἰ κατὰ τὴν προειρημένην διαίρεσιν τὰ τῆς ψυχῆς μέρη τῷ ὑποκειμένῳ διακρίνοιντο εἴς τε τὸ λογικὸν καὶ ἄλογον, ἄτοπον δόξει διασπᾶν, τουτέστι διαιρεῖν, τὸ ὀρεκτικὸν εἰς δύο τῷ ὑποκειμένῳ διαφέροντα. Τοῦτο δὲ ἔσται πάντως, εἴ τις ἐρεῖ τὸ λογικὸν καὶ τὸ ἄλογον μέρη τῆς ψυχῆς κεχωρισμένα, διότι τὸ μὲν τοῦ ὀρεκτικοῦ ἐστὶν ἐν τῷ λογικῷ μέρει, δηλονότι ἡ θέλησις, τὸ δέ ἐστιν ἐν τῷ ἀλόγῳ μέρει, δηλονότι ἡ ἐπιθυμία καὶ ὁ θυμός. Καὶ εἴ τις διακρίνοιε τὰ τῆς ψυχῆς μόρια εἰς τρία τῷ ὑποκειμένῳ κεχωρισμένα, δηλονότι τὸ λογικόν, τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν, ἕψεται ἐν ἑκάστῳ τούτων εἶναι τὴν ὄρεξιν. Ἐν γὰρ τῷ λογιστικῷ ἔστιν ἡ θέλησις, ὡς εἴρηται. Τὸ δὲ θυμικόν ἐστιν ὄρεξις· ὡσαύτως δὲ καὶ τὸ ἐπιθυμητικόν. Ἔσονται τοίνυν τρεῖς ὀρέξεις ἐν τῇ ψυχῇ τῷ ὑποκειμένῳ διαφέρουσαι κατὰ τὴν προειρημένην διαίρεσιν. Ἀλλὰ ζητεῖται διατί ἐν μὲν τῇ αἰσθητικῇ ὀρέξει δύο εἰσὶ δυνάμεις ὀρεκτικαί, δηλονότι τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν, ἐν δὲ τῇ λογικῇ ὀρέξει μία μόνον ὄρεξίς ἐστι, δηλονότι ἡ θέλησις. Καὶ δεῖ λέγειν πρὸς τοῦτο, ὅτι αἱ δυνάμεις διακρίνονται κατὰ τοὺς λόγους τῶν ἀντικειμένων· τὸ δὲ ἀντικείμενον τοῦ ὀρεκτικοῦ ἐστι τὸ καταληφθὲν ἀγαθόν. Ἄλλῳ δὲ τρόπῳ καταλαμβάνει τὸ ἀγαθὸν ὅ τε νοῦς καὶ ἡ αἴσθησις· ὁ μὲν γὰρ νοῦς λαμβάνει τὸ ἀγαθὸν κατὰ τὸν καθόλου λόγον τοῦ ἀγαθοῦ· ἡ δ' αἴσθησις ἀντιλαμβάνεται τοῦ ἀγαθοῦ ὑπὸ διωρισμένῳ λόγῳ τοῦ ἀγαθοῦ. Καὶ διὰ τοῦτο ἡ μὲν ὄρεξις ἡ ἑπομένη τῇ ἀντιλήψει τοῦ νοῦ μία μόνον

---

4 *αὐτόθεν* om B 5 *μὲν* avant *ἔχειν* add B *καὶ* om B *ἔχον δὲ* B
23 *δηλονότι*: *οἷον* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστί, καὶ διακρίνεται τῆς ὀρέξεως, τῆς ἑπομένης τῇ ἀντιλήψει τῆς αἰσθήσεως, καὶ διακρίνονται κατὰ τὸν διάφορον λόγον τοῦ καταλαμβανομένου ἀγαθοῦ. Καταλαμβανόμενον γάρ τι δι' αἰσθήσεως ἔχει λόγον ὀρεκτοῦ καὶ ἀγαθοῦ, καθόσον ἐστὶν ἡδὺ κατὰ τὴν αἴσθησιν, καὶ πρὸς τοῦτο τὸ ἀγαθὸν τάττεται τὸ ἐπιθυμητικόν. Ἔχει δέ τι λόγον ὀρεκτοῦ καὶ ἀγαθοῦ καθόσον ..... τοῖς ἡδέσιν ὡς ἔχον εὐπορίαν τοῦ κατ' ἐξουσίαν χρῆσθαι αὐτοῖς, καὶ πρὸς τοῦτο τέτακται τὸ θυμικόν, ὅπερ ἐστὶν ὥσπερ | πρόμαχός τις τοῦ ἐπιθυ- f. 342
μητικοῦ. Κἀντεῦθεν ἐστίν, ὅτι τὰ ζῷα οὐκ ὀργίζονται οὐδὲ μάχονται εἰ μὴ τῶν ἡδέων χάριν, τουτέστι τῶν τροφῶν καὶ τῶν ἀφροδισίων, ὡς ἐν τῷ περὶ ζῴων ἱστορίας λέγεται, καὶ διὰ τοῦτο πάντα τὰ τοῦ θυμικοῦ πάθη ἀπὸ τῶν ἀρχῶν τοῦ ἐπιθυμητικοῦ ἄρχονται καὶ εἰς ταύτας περαίνουσιν. Ἡ γὰρ ὀργὴ ἀπὸ τῆς λύπης ἄρχεται καὶ εἰς τὰ ἡδέα τελευτᾷ· οἱ γὰρ ὀργισθέντες τιμωρησάμενοι ἥδονται, καὶ διὰ τοῦτο φασὶν ἔνιοι, ὅτι τὸ ἀντικείμενον τοῦ θυμικοῦ ἐστὶ ..... Τὸ δ' ὑπ' ἐνίων λεγόμενον, ὅτι τὸ θυμικὸν πρὸς τὴν κακοῦ φυγὴν τέτακται, οὐδένα παντάπασιν ἔχει λόγον· ἡ αὐτὴ γὰρ δύναμις τῶν ἐναντίων ἐστίν, ὥσπερ ἡ ὄψις, τοῦ λευκοῦ καὶ τοῦ μέλανος· ὅθεν τὸ ἀγαθὸν καὶ κακὸν οὐ δύνανται ποικίλλειν τὴν ὀρεκτικὴν δύναμιν. Καὶ διὰ τοῦτο, ὥσπερ ἡ ἀγάπη τοῦ ἀγαθοῦ ἀνήκει τῷ ἐπιθυμητικῷ, οὕτω καὶ τὸ τοῦ κακοῦ μῖσος, ὡς φησὶν ὁ Φιλόσοφος ἐν δευτέρῳ τῶν τοπικῶν, καὶ ἡ ἐλπὶς ἡ περὶ τοῦ ἀγαθοῦ, καὶ ὁ φόβος ὁ περὶ τοῦ κακοῦ πρὸς τὸ θυμικὸν ἀνήκουσιν.

Τέταρτον τίθησι λόγον, ἐν τῷ· Καὶ δὴ καὶ περὶ οὗ, λέγων, ὅτι κἀκεῖνο περὶ οὗ νῦν ζητοῦμεν, τί ἐστι τὸ κινοῦν τὸ ζῷον κατὰ τόπον, ἀπορίαν ποιεῖ περὶ τὰς προειρημένας διαιρέσεις, διότι οὐ φαίνεται ὑπ' ἐκείνας περιεχόμενον· περὶ γὰρ τῆς κατά τε αὔξησιν καὶ φθίσιν κινήσεως, ἥτις κοινή ἐστι πᾶσι τοῖς ὑποκάτω, φανερόν ἐστιν ὅτι ἀρχὴν ἔχει κοινὴν πᾶσι τοῖς ζῶσι, δηλονότι τὸ γεννητικὸν καὶ θρεπτικόν. Εἰσὶ δέ τινες ἄλλαι μεταβολαὶ τῶν ζῴων, ὥσπερ ἡ ἀναπνοὴ καὶ ἐκπνοή, ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις, περὶ ὧν ὕστερον διοριούμεθα τί ἂν εἴη τὸ ποιοῦν αὐτά· ἔχουσι γὰρ πολλὴν ἀπορίαν, καὶ διὰ τοῦτο ἰδίας ἐπιδέονται πραγματείας.

Ἐφεξῆς λέγων· Ἀλλὰ περὶ τῆς κατὰ τόπον κινήσεως, προχωρεῖ διαλεκτικῶς πρὸς τὸ ζητῆσαι τὴν ἀρχὴν τῆς κατὰ τόπον κινήσεως ἐν τοῖς ζῴοις, καὶ πρῶτον δείκνυσιν, ὅτι οὐκ ἔστι θρεπτικὴ δύναμις· δεύτερον, ὅτι οὐδὲ αἰσθητική, ἐν τῷ· Ὁμοίως δέ· τρίτον, ὅτι οὐδὲ νοερά, ἐν τῷ· Ἀλλὰ μὴν οὐδέ· τέταρτον, ὅτι οὐδὲ ἡ ὀρεκτική, ἐν τῷ· Ἀλλὰ μὴν οὐδέ. Φησὶ τοίνυν, πρῶτον, ὅτι νῦν σκεπτέον ἐστὶ τί ἐστι τὸ κινοῦν τὸ ζῷον κατὰ τόπον τῇ πορευτικῇ κινήσει. Καὶ ὅτι τοῦτο οὐκ ἔστιν ἡ

---

5 blanc après *καθόσον* AB, latin: *perficitur* 6 *εὐπορίαν*: *ἐξουσίαν* B
14 blanc après *ἐστί*, latin: *arduum* 34 *οὐδ'* après *δὲ* add B 35 *ἡ* om B
37 *τῇ πορευτικῇ* om B



ΙΩΑΝΝΙΝΑ 2006

θρεπτικὴ δύναμις, λόγοις δείκνυσι δυσίν, ὧν ὁ πρῶτος τοιοῦτος ἐστίν. Ἀεὶ ἡ κίνησις ἡ πορευτικὴ κατὰ τόπον ἕνεκά του ἐστὶ φανταστοῦ καὶ ὀρεκτοῦ· οὐ γὰρ κινεῖται τὸ ζῷον εἰ μὴ ὀρεγόμενόν τινος, ἢ φεῦγόν τι, εἰ μὴ ἴσως βίᾳ κινοῖτο. Ἀλλὰ τὸ φάντασμα καὶ ἡ ὄρεξις οὐκ ἀνήκουσι τῷ θρεπτικῷ μέρει. Τὸ θρεπτικὸν ἄρα μέρος οὐκ ἔστιν ἀρχὴ τῆς κατὰ τόπον πορευτικῆς κινήσεως. Δεύτερον τίθησι λόγον πρὸς τὸ αὐτό, ἐν τῷ· Ἔτι κἂν τὰ φυτά, καὶ ὁ λόγος ἐστὶ τοιοῦτος. Τὸ θρεπτικὸν μέρος ἐστὶ κἀν τοῖς φυτοῖς. Εἰ τοίνυν τὸ θρεπτικὸν μόριον ἦν ἀρχὴ τῆς κατὰ τόπον πορευτικῆς κινήσεως, εἶπετ' ἂν τὰ φυτὰ εἶναι κινητικὰ ἑαυτῶν κατὰ ταύτην τὴν κίνησιν καὶ ἔχειν ὀργανικὰ μέρη ἁρμόττοντα τῇ τοιαύτῃ κινήσει, ὃ περιφανῶς ψεῦδος ἐστίν. Οὐκ ἄρα τὸ θρεπτικὸν μόριον ἀρχή ἐστι τῆς κατὰ τόπον πορευτικῆς κινήσεως ἐν τοῖς ζῴοις.

Ἐφεξῆς λέγων· Ὁμοίως δὲ οὐδὲ τὸ αἰσθητικόν, δείκνυσιν ὅτι οὐδὲ ἡ αἴσθησις ἐστὶν ἀρχὴ τῆς εἰρημένης κινήσεως, λόγῳ τοιῷδε. Ἡ αἴσθησις ἐστὶν ἐν ἅπασι τοῖς ζῴοις. Εἰ τοίνυν ἡ αἴσθησις ἦν ἀρχὴ τῆς προειρημένης κινήσεως, εἶπετ' ἂν ἅπαν ζῷον τῇ τοιαύτῃ κινήσει κινεῖσθαι. Τοῦτο δὲ προδήλως ψεῦδος ἐστί, διότι πολλά εἰσι ζῷα αἴσθησιν ἔχοντα, μένουσι μέντοι ἐν τῷ αὐτῷ τόπῳ ἀεὶ καὶ ἀκίνητα διατελοῦσιν ἐφόσον ζῶσι. Καὶ ἐπεὶ δυνατὸν ἦν τινας λέγειν, ὅτι τοῦτο οὐκ ἔστι διὰ τὸ ἐκλείπειν ἐν αὐτοῖς τὴν κινητικὴν ἀρχήν, ἀλλὰ διὰ τὸ ἐλλείπειν αὐτοῖς τὰ πρὸς τὴν κίνησιν ἐπιτήδεια ὄργανα, διὰ τοῦτο πρὸς ἀναίρεσιν τῆς τοιαύτης ὑποφορᾶς ἐπάγει, ὅτι ἡ φύσις οὐδὲν ποιεῖ μάτην οὐδὲ ἐκλείπει ἐν τοῖς ἀναγκαίοις εἰ μὴ ἐν τοῖς πηρώμασι καὶ τοῖς ἀτελέσιν, ὁποῖα εἰσὶ τὰ τερατώδη τῶν ζῴων, ἅπερ συμβαίνουσι παρὰ τὸν σκοπὸν τῆς φύσεως διὰ φθοράν τινος ἀρχῆς ἐν τῷ σπέρματι. Ἀλλὰ τὰ ἀκίνητα ζῷα τέλειά εἰσι κατὰ τὸ ἴδιον εἶδος καὶ οὐκ εἰσὶ πηρώματα οὐδὲ ἀτελῆ, ὥσπερ τὰ τερατώδη· οὗ δὴ σημεῖον ἐστίν, ὅτι γεννῶσιν αὐτοῖς ὅμοια καὶ ἔχουσι τὴν ἁρμόττουσαν ἀκμὴν καὶ φθίσιν, ὅπερ οὐκ ἔστιν ἐν τοῖς ζῴοις τοῖς πεπηρωμένοις. Ἐν τοῖς τοιούτοις ἄρα ζῴοις ἡ φύσις οὐδὲν ποιεῖ μάτην οὐδὲ ἐκλείπει ἐν τοῖς ἀναγκαίοις· ὅθεν ἕπεται, εἰ ἔχουσιν ἀρχὴν κινήσεως, ταῦτα καὶ μέρη ἔχειν ὀργανικὰ διατεθειμένα πρὸς τὴν πορευτικὴν κίνησιν·
f. 342v ἄλλως γὰρ ἡ ἀρχὴ | τῶν κινήσεων ἦν ἂν ἐν αὐτοῖς περιττὴ καὶ τὰ πρὸς ἐκπλήρωσιν τῆς κινητικῆς δυνάμεως ἀναγκαῖα ἐπέλιπεν ἂν αὐτοῖς. Ἐκ τούτου δὲ λαβεῖν δυνάμεθα, ὅτι ᾧ ἂν ἐνυπάρχοι ἀρχή τις ζωῆς, ἐνυπάρχουσιν αὐτῷ καὶ ὄργανα συμβαίνοντα ἐκείνῃ τῇ ἀρχῇ, καὶ ὅτι τὰ μέρη τοῦ σώματος εἰσὶ διὰ τὰ τῆς ψυχῆς μέρη.

Ἐφεξῆς λέγων· Ἀλλὰ μήν, φησὶν ὅτι καὶ ὁ νοῦς οὐκ ἔστιν ἀρχὴ τῶν κινήσεων· καὶ φησὶν ὅτι οὔτε τὸ λογιστικὸν μέρος καὶ ὃ καλεῖται

20 *ἐν* om B

Ε.Υ.Δ της Π.Τ. ΙΩΑΝΝΙΝΑ 2006

νοῦς δοκεῖ εἶναι κινοῦν. Ὅθεν δυνάμεθα λαβεῖν ὅτι ὁ λόγος καὶ ὁ νοῦς οὐκ εἰσὶ διάφορα τῆς ψυχῆς μέρη, ἀλλ᾽ αὐτὸς ὁ νοῦς ἡμῶν λέγεται λόγος, ἐφόσον διά τινος ζητήσεως ἀφικνεῖται πρὸς τὸ γινώσκειν τὴν νοητὴν ἀλήθειαν, καὶ ὅτι ὁ νοῦς οὐκ ἔστιν ἀρχὴ κινοῦσα. Δείκνυσι, πρῶτον, ὅσον πρὸς τὸν θεωρητικὸν νοῦν· ἐπειδὴ γὰρ ὁ νοῦς ὁ θεωρητικὸς σκοπεῖ τὰ θεωρητικὰ μόνον ὄντα, καὶ οὐδαμῶς πρακτικά, ὥσπερ ὁπόταν θεωρῇ τὸ τρίγωνον ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, φανερόν ἐστιν ὅτι ὁ θεωρητικὸς νοῦς οὐ θεωρεῖ τι πρακτικὸν οὐδὲ λέγει τι περὶ φευκτοῦ καὶ διωκτοῦ, καὶ οὕτως οὐ δύναται κινεῖν, διότι ἀεὶ ἡ κίνησις ἐστὶ τοῦ φεύγοντός τι κατὰ τὴν ὄρεξιν, ἢ διώκοντος. Ἐνίοτε δὲ θεωρεῖ τι πρακτικὸν ὁ νοῦς, οὐ μέντοι γε πρακτικῶς ἀλλὰ θεωρητικῶς, διότι θεωρεῖ αὐτὸ ἐν τῷ καθόλου καὶ οὐ καθό ἐστιν ἀρχὴ τῆς μερικῆς ἐνεργείας, καὶ περὶ τούτου φησὶν ἑπομένως, ὅτι ἀ λ λ᾽ ο ὐ δ᾽ ὅ τ α ν ὁ ν ο ῦ ς θ ε ω ρ ῇ, ἤγουν θεωρητικῶς σκοπῇ τι τοιοῦτον, τουτέστι πρακτικόν τι, οὔπω κελεύει διώκειν, ἢ φεύγειν, ὥσπερ ὁπόταν τι πολλάκις διανοώμεθα φοβερόν, ἢ ἡδύ. Ἀλλ᾽ ὁ νοῦς οὐ κελεύει φοβεῖσθαι ἢ ἐπιθυμεῖν, ἀλλ᾽ ἐνίοτε κινεῖται ἡ καρδία πρὸς τὸ φοβεῖσθαι χωρὶς ἐπιταγῆς τοῦ νοῦ. Καὶ εἰ πάλιν τὸ ἡδὺ κινεῖ τὴν ὄρεξιν, ἔσται τι ἕτερον μέρος παρὰ τὴν καρδίαν τὸ κινούμενον· καὶ τοῦτο φησὶ διὰ τὴν τοῦ Πλάτωνος δόξαν, ὅστις ἐτίθει τὰ τῆς ψυχῆς μέρη διακεκριμένα τῷ ὑποκειμένῳ οὕτως, ὥστε τὸ μὲν θυμικόν, οὗτινος ἐστὶ τὸ φοβεῖσθαι, εἶναι ἐν τῇ καρδίᾳ· τὸ δὲ ἐπιθυμητικόν, ἐν ἑτέρῳ τινὶ μέρει τοῦ σώματος, οἷον ἐν τῷ ἥπατι. Οὕτω τοίνυν δείκνυται, ὅτι ὁ νοῦς θεωρητικῶς σκοπούμενός τι πρακτικόν οὐ κινεῖ. Ὅθεν δῆλον, ὅτι ὁ θεωρητικὸς νοῦς οὐδενὶ τρόπῳ κινεῖ.

Ἐφεξῆς λέγων· Ἔ τ ι κ α ὶ ἐ π ι τ ά τ τ ο ν τ ο ς, δείκνυσιν ὅτι οὐδὲ ὁ πρακτικὸς νοῦς κινεῖ, λέγων ὅτι, καὶ τοῦ πρακτικοῦ νοῦ ἐπιτάττοντος, ὅπερ συμβαίνει, ὅταν ἡ διάνοια λέγῃ τι διώκειν, ἢ φεύγειν, οὐ διὰ τοῦτο ὁ ἄνθρωπος κινεῖται, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν πράττει, ὥσπερ ἐπὶ τῶν ἀκρατῶν ἐστὶ κατάδηλον, τῶν ἐχόντων μὲν τὸν ὀρθὸν λόγον ἀλλ᾽ οὐκ ἐμμενόντων αὐτῷ. Ὅθεν φαίνεται τὸν νοῦν μὴ κινεῖν. Δείκνυσι δὲ αὐτὸ τοῦτο καὶ ἐκ τῶν ἰατρῶν, οἵτινες ἔχοντες ἐπιστήμην τὴν ἰατρικὴν οὐκ ἰατρεύονται, διότι οὐ ποιοῦσιν ἐν ἑαυτοῖς τὰ τῆς τέχνης ἐπιτάγματα· ἐξ οὗ δοκεῖ τὸ κατ᾽ ἐπιστήμην ποιεῖν μὴ εἶναι τῆς πρακτικῆς ἐπιστήμης, ἀλλά τινος ἑτέρας.

Ἐφεξῆς λέγων· Ἀ λ λ ὰ μ ὴ ν ο ὐ δ ὲ ἡ ὄ ρ ε ξ ι ς, δείκνυσιν ὅτι τὸ ὀρεκτικὸν μέρος οὐκ ἔστι κύριον ταύτης τῆς κινήσεως. Ὁρῶμεν γὰρ ὅτι οἱ ἐγκρατεῖς ὀρέγονται καὶ ἐπιθυμοῦσιν, ἀλλ᾽ οὐ ποιοῦσιν ἐκεῖνα ὧν ἔχουσιν ὄρεξιν ἀπ᾽ ἐναντίας τοῖς ἀκρατέσιν, ὡς ἐν τῷ ἑβδόμῳ τῶν ἠθικῶν λαμπρότερον δείκνυται. Φαίνεται τοίνυν ὅτι οὐδὲ ἡ ὄρεξις κινεῖ.

---

**5** *σκοπεῖ*: *θεωρεῖ* **B** **16** *πολλάκις* **om B** **22** *ἐν* **avant** *τῷ* **om B**

Β.Υ.Δ της Κ.Υ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Leçon XV.

Φαίνεται δὲ δύο ταῦτα. Προχωρήσας ὁ Φιλόσοφος διαλεκτικῶς πρὸς τὴν ζήτησιν τοῦ τίς ἂν εἴη τῆς κινήσεως ἀρχὴ τῆς τοπικῆς ἐν τοῖς ζῴοις, ἐνταῦθα διορίζεται τὴν ἀλήθειαν· καὶ πρῶτον δείκνυσιν ἐν τῷ· Καθόλου, τίς ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως· δεύτερον, ὅπως αὕτη ἡ ἀρχὴ ἐν διαφόροις εὑρίσκεται διαφόρως, ἐν τῷ· Ὅλως μὲν οὖν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τίς ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως ἐν τοῖς ζῴοις· δεύτερον, διδάσκει τὴν τάξιν ᾗ ἡ κίνησις αὕτη συμπληροῦται ὅσον πρὸς τὰ κινοῦντα καὶ τὰ κινητά, ἐν τῷ· Εἴδει μὲν οὖν. Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, τίθησι δύο εἶναι τὰς ἀρχὰς τῆς κινήσεως· δεύτερον, ἀνάγει ταύτας εἰς μίαν, ἐν τῷ· Νοῦς δὲ ὁ ἕνεκά του· τρίτον, λύει τὴν ἀντίθεσιν τὴν ἀνωτέρω τεθεῖσαν, ἐν τῷ· Ὅτι δὲ ἡ ὄρεξις. Φησὶ τοίνυν, πρῶτον, ὅτι θεωρηθέντων τούτων ἁπάντων τῶν προειρημένων, ἐπεὶ φανερὸν γέγονεν, ὅτι τὸ θρεπτικὸν μόριον οὐκ ἔστι τὸ κινοῦν, ὁμοίως f. 343 δὲ οὐδ' ἡ αἴσθησις, ἐπεὶ οὐ πάντα εὑρίσκεται | κινούμενα ἐν οἷς ταῦτα εἰσίν, ὡς προείρηται, φαίνονται δύο ταῦτα εἶναι τὰ κινοῦντα, δηλονότι ὄρεξις καὶ νοῦς, καὶ οὕτως ὥστε τῷ νῷ συμπεριλαμβάνεσθαι καὶ τὴν φαντασίαν, ἔχουσάν τι τῷ νῷ ὅμοιον, ἐφόσον κινεῖ ἐν τῇ ἀπουσίᾳ τῶν αἰσθητῶν, ὥσπερ καὶ ὁ νοῦς· ἔστι γὰρ καὶ αὕτη ἀρχὴ κινήσεως, διότι πολλοὶ ἄνθρωποι παριόντες τὴν ἐπιστήμην τοῦ νοῦ ἀκολουθοῦσι τῇ φαντασίᾳ ἐν ταῖς ἰδίαις αὐτῶν κινήσεσιν, ὥσπερ οἱ μὴ κατὰ λόγον ποιοῦντες ἀλλ' ὁρμῇ τινι κινούμενοι πρός τό τι ποιεῖν. Καὶ ἐν τοῖς ἄλλοις ζῴοις φανερόν ἐστι μὴ εἶναι νοῦν καὶ λόγον τὰ κινεῖν δυνάμενα, ἀλλὰ μόνον φαντασίαν. Οὕτω τοίνυν φανερόν ἐστιν ὅτι ἄμφω ταῦτα κινοῦσιν, ὅ τε νοῦς συμπεριλαμβάνων ἑαυτῷ καὶ τὴν φαντασίαν καὶ ἡ ὄρεξις.

Ἐφεξῆς λέγων· Νοῦς δὲ ὁ ἕνεκά του, ἀνάγει τὰ προειρημένα κινοῦντα εἰς ἕν. Καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσι τὸ προκείμενον· δεύτερον, ἐκ τοῦ δεδειγμένου ἀποδίδωσιν αἰτίαν τινὸς περὶ τὴν κίνησιν τῶν ζῴων συμβαίνοντος, ἐν τῷ· Νοῦς μὲν οὖν· τρίτον, ἀποδοκιμάζει τὴν διαίρεσιν τῶν δυνάμεων, ἣν οἱ ἀρχαῖοι ἐτίθεσαν, ἐν τῷ ..... Φησὶ τοίνυν, πρῶτον, ὅτι ὁ νοῦς κινῶν ἐστὶν ὁ λογιζόμενος ἕνεκά του, καὶ οὐχ ἕνεκα τοῦ λογίζεσθαι μόνον· καὶ οὗτός ἐστιν ὁ πρακτικὸς νοῦς, διαφέρων τοῦ θεωρητικοῦ τῷ τέλει· ὁ γὰρ θεωρητικὸς θεωρεῖ τὴν ἀλήθειαν οὐχ ἕνεκά τινος ἄλλου, ἀλλὰ δι' αὐτὴν μόνον· ὁ δὲ πρακτικὸς θεωρεῖ τὴν ἀλήθειαν διὰ τὴν ἐνέργειαν. Καὶ φανερόν ἐστιν, ὅτι καὶ πᾶσα ὄρεξις ἔστιν ἕνεκά του· ἀνόητον γὰρ ἂν εἴη λέγειν, ὅτι ὀρέγεταί τις τοῦ ὀρέγεσθαι ἕνεκα· τὸ γὰρ ὀρέγεσθαι κίνησίς τίς ἐστι πρὸς ἕτερον τεί-

---

**2** *γε* **après** *δὲ* **add B** **15** *δὲ* **om B** **25** *ὄρεξιν καὶ ἡ φαντασία* **B** **30 blanc après** *ἐν τῷ* **AB** **33** *τοῦ τέλους* **B**

νουσα· τοῦτο δὲ οὗτινός ἐστιν ἡ ὄρεξις, δηλονότι τὸ ὀρεκτόν, ἀρχή ἐστι τοῦ πρακτικοῦ νοῦ. Τὸ γὰρ πρώτως ὀρεκτόν ἐστι τὸ τέλος, ἀφ' οὗ ἡ θεωρία τοῦ πρακτικοῦ νοῦ τὴν ἀρχὴν λαμβάνει. Ὅταν γὰρ θελήσωμεν βουλεύσασθαί τι περὶ τῶν πρακτέων, πρῶτον ὑποτιθέαμεν τὸ τέλος, καὶ μετὰ ταῦτα προχωροῦμεν εὐτάκτως πρὸς τὸ ζητεῖν τὰ διὰ τὸ τέλος ἐκεῖνο ὀφείλοντα πράττεσθαι, οὕτως ἀεὶ προϊόντες ἐκ τοῦ ὑστέρου πρὸς τὸ πρότερον, ἕως ἂν πρὸς ἐκεῖνο καταντήσωμεν, ὃ δεῖ πρὸ πάντων ποιεῖν ἡμᾶς. Καὶ τοῦτ' ἔστιν ὅπερ ἐπάγει, ὅτι τὸ ἔσχατον ἐν τῇ θεωρίᾳ τοῦ πρακτικοῦ νοῦ τῆς ἐνεργείας ἐστὶν ἀρχὴ καὶ τῆς πράξεως, τουτέστιν ὅθεν τῆς πράξεως ὀφείλομεν ἄρχεσθαι, τοῦτό ἐστίν. Ὅθεν εὐλόγως εἴρηται, ὅτι ταῦτα τὰ δύο εἰσὶ τὰ κινοῦντα, ὄρεξις καὶ νοῦς πρακτικός. Ἐπειδὴ γὰρ αὐτὸ τὸ ὀρεκτικὸν κινεῖ ὅπερ ἐστὶν ἀρχὴ θεωρουμένη ὑπὸ τοῦ πρακτικοῦ νοῦ, διὰ τοῦτο λέγεται ὁ πρακτικὸς νοῦς κινεῖν, ἤγουν διότι ἡ ἀρχὴ τούτου, ἥτις ἐστὶ τὸ ὀρεκτικόν, κινεῖ. Καὶ τὸ περὶ τοῦ νοῦ λεγόμενον δεῖ καὶ περὶ τῆς φαντασίας νοεῖσθαι, διότι ὁπόταν ἡ φαντασία κινῇ, οὐ κινεῖ ἄνευ ὀρέξεως· οὐ γὰρ κινεῖ εἰ μὴ καθόσον οἷον ὑπ' ὄψιν ἵστησι τὸ ὀρεκτόν, ὥσπερ οὐδὲ ὁ νοῦς. Οὕτως οὖν φαίνεται, ὅτι ἕν ἐστι τὸ κινοῦν, τουτέστι τὸ ὀρεκτόν· τουτὶ γὰρ κινεῖ τε τὴν ὄρεξιν καὶ ἀρχή ἐστι τοῦ νοῦ, ἅπερ ἀμφότερα ἐτίθεμεν εἶναι κινοῦντα. Καὶ τοῦτο εὐλόγως ἔχει, τὸ ταῦτα τὰ δύο ἀνάγεσθαι εἰς ἕν, τὸ ὀρεκτόν. Εἰ γὰρ ἐτίθεντο τὰ δύο ταῦτα, ὁ νοῦς καὶ ἡ ὄρεξις, εἶναι κινοῦντα τῇ αὐτῇ κινήσει, ἐπεὶ ἑνὸς ἀποτελέσματος μία ἐστὶν αἰτία ἰδία, ἀνάγκη ἦν κινεῖν ταῦτα τὰ δύο κατά τι κοινὸν εἶδος. Οὐ δεῖ δὲ λέγειν τὴν ὄρεξιν κινεῖν ὑπὸ τῷ εἴδει τοῦ νοῦ, ἀλλὰ μᾶλλον τὸν νοῦν ἢ τὸ νοητὸν ὑπὸ τῇ ὀρέξει, διότι ὁ νοῦς οὐχ εὑρίσκεται κινῶν χωρὶς ὀρέξεως· ἡ γὰρ βούλησις, καθ' ἣν ὁ νοῦς κινεῖ, ὄρεξίς τίς ἐστι. Καὶ τούτου τὴν αἰτίαν ἀποδίδωσιν ἐν τῷ [ἐνάτῳ] τῶν μετὰ τὰ φυσικά. Διότι γὰρ ὁ λόγος τῆς πρακτικῆς ἐπιστήμης περὶ τὰ ἀντικείμενα ἔχει, οὐ κινεῖ εἰ μὴ πρὸς ἓν ἀφορισθείη διὰ τῆς ὀρέξεως. Ἀλλ' ἡ ὄρεξις ἄνευ τοῦ λόγου κινεῖ, ὡς δῆλόν ἐστιν ἐπὶ τῶν κινουμένων ἐξ ἐπιθυμίας. Ἡ γὰρ ἐπιθυμία ὄρεξις τίς ἐστι. Τίθησι δὲ παράδειγμα τὴν ἐπιθυμίαν μᾶλλον ἢ τὸν θυμόν, διότι ὁ μὲν θυμὸς ἔχει τι τοῦ λόγου, ἡ δὲ ἐπιθυμία οὐδέν, ὡς ὁ Φιλόσοφος δείκνυσιν ἐν ἑβδόμῳ τῶν ἠθικῶν. Καὶ οὕτω δῆλον ἐστίν, ὅτι τὰ δύο κινοῦντα πρὸς ἓν ἀνάγονται, ὅπερ ἐστὶ τὸ ὀρεκτόν.

Ἐφεξῆς λέγων· Νοῦς μὲν γάρ, ἀποδίδωσιν ἐκ τῶν προτεθειμένων
τὴν αἰτίαν τοῦ συμβεβηκότος περὶ τὴν κίνησιν ἢ τὴν ἐνέργειαν, | δεικνὺς f. 343v
δηλονότι διατί ἐν ταῖς ἐνεργείαις καὶ ταῖς κινήσεσιν ἡμῶν πλανώμεθα. Καὶ φησὶν ὅτι νοῦς ἅπας ὀρθός ἐστιν, ὅπερ δεῖ νοεῖν περὶ τοῦ νοῦ τῶν ἀρχῶν· οὐ γὰρ πλανώμεθα περὶ τὰς πρώτας ἀρχὰς ἐν τοῖς πρακτοῖς, οἷαι

26 blanc après *ἐν τῷ* AB

Ε.Υ.Σ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

εἰσί· τὸ μηδένα δεῖν βλάπτειν, τὸ μὴ δεῖν τι ἀδίκως ποιεῖν καὶ τὰ τοιαῦτα· ὥσπερ οὐδὲ πλανώμεθα περὶ τὰς πρώτας ἀρχὰς ἐν τοῖς πρακτικοῖς. Ἐν γὰρ τούτοις, ἅπερ εἰσὶ πρῶται ἀρχαί, ἂν μὲν ὀρθῶς θεωρῶμεν, τοῦτο ἐκ τῆς ὀρθότητος τῆς περὶ τὰς πρώτας ἀρχὰς γίνεται· ἂν δὲ ἀπὸ τῆς ὀρθότητος ἐκκλίνωμεν, τοῦτο πρόεισιν ἐκ τῆς πλάνης τῆς ἐν τῷ συλλογίζεσθαι συμβαινούσης. Ἀλλ᾽ ἡ ὄρεξις καὶ ἡ φαντασία κινοῦντα καὶ αὐτὰ εἰσί τε μετὰ ὀρθότητος καὶ ἄνευ ὀρθότητος, καὶ διὰ τοῦτο ἐν ταῖς πράξεσιν ἡμῶν συμβαίνει ἐλλείπειν ἡμᾶς τῆς ὀρθότητος, καθὸ ἐλλείπομεν ἀπὸ τοῦ νοῦ καὶ τοῦ λόγου. Ὅθεν δῆλον ἐκ τῶν προειρημένων, ὅτι τὸ ὀρεκτὸν ἀεὶ κινεῖ. Τοῦτο δὲ τὸ ὀρεκτόν ἐστιν ἢ τὸ ἀληθῶς ἀγαθόν, ὅταν διαρκῇ ἐν τῇ κρίσει τοῦ ὀρθοῦ ὁ νοῦς· ἢ τὸ φαινόμενον ἀγαθόν, ὅταν ἐκκλίνῃ τῆς κρίσεως τοῦ ὀρθοῦ ὁ νοῦς διὰ τὴν ὄρεξιν, ἢ τὴν φαντασίαν. Οὐ πᾶν δὲ ἀγαθὸν ὀρεκτόν ἐστι καὶ κινοῦν, ἀλλὰ τὸ πρακτὸν ἀγαθόν, ὅπερ ἐστὶ τὸ ἀγαθὸν τὸ προσαγόμενον τῇ ἐνεργείᾳ, καὶ τοῦτο ἐνδέχεται καὶ ἄλλως ἔχειν, ὥσπερ καὶ πάντα τὰ τῇ ἡμετέρᾳ ὑπαγόμενα ἐνεργείᾳ. Ὅθεν τὸ καθόλου καὶ ἀναγκαῖον ἀγαθὸν ἐν τῇ ἰδίᾳ ὁλότητι θεωρούμενον οὐ κινεῖ. Φανερὸν τοίνυν ἐστίν, ὅτι ἡ τῆς ψυχῆς δύναμις, ἡ καλουμένη ὄρεξις, ἐστὶ κινοῦν.

Ἐφεξῆς λέγων· Τοῖς δὲ διαιροῦσιν, ἐκβάλλει τὸ ὑπὸ τῶν ἀρχαίων εἰρημένον περὶ τῆς διακρίσεως τῶν κινητικῶν μερῶν τῆς ψυχῆς, οἳ διῄρουν τὰ τῆς ψυχῆς μέρη εἰς λογικόν, θυμικὸν καὶ ἐπιθυμητικόν. Καί φησιν ὅτι, εἰ βούλοιντο διακρίνειν τὰς τῆς ψυχῆς δυνάμεις ἀπ᾽ ἀλλήλων κεχωρισμένας, πολλῷ πλείους ἔσονται ὧν αὐτοὶ ὑπέθεντο, δηλονότι τὸ θρεπτικόν, τὸ αἰσθητικόν, τὸ νοητικὸν καὶ τὸ βουλευτικόν, ἔτι δὲ τὸ ὀρεκτικόν. Χωρίζει δὲ τὸ βουλευτικὸν τοῦ ὀρεκτικοῦ, ὡς καὶ ἐν τῷ ἕκτῳ τῶν ἠθικῶν διακρίνει τὸ λογιστικόν, ὅπερ ἐστὶ τῶν ἐνδεχομένων, τοῦ ἐπιστημονικοῦ, ὅπερ ἐστὶ τῶν ἀναγκαίων, καὶ ἐκείνῳ τῷ λόγῳ, ᾧ ἐκεῖνα διαιρεῖ. Ταῦτα δὲ τὰ τῆς ψυχῆς μέρη πλέον ἀλλήλων διαφέρουσιν ἢ τὸ θυμικὸν καὶ ἐπιθυμητικόν, ἅπερ ὑπὸ τῇ αἰσθητικῇ ὀρέξει περιέχονται. Ὅθεν πλείω εἰσὶ τὰ τῆς ψυχῆς μέρη ἢ ὅσαπερ ἐκεῖνοι τιθέασιν.

Ἐφεξῆς λέγων· Ἐπεὶ δὲ ὄρεξις, ἀποκλείει τινὰ ἀνθυποφορὰν πρὸς τὰ προειρημένα περὶ τῆς ὀρέξεως, ἧς καὶ πρότερον ἥψατο, λέγων δόξαι ἂν τὴν ὄρεξιν μὴ κινεῖν διὰ τὸ τοὺς ἐγκρατεῖς μὴ ἀκολουθεῖν τῇ ὀρέξει. Οὗτος τοίνυν ὁ λόγος λύεται τούτῳ τῷ τρόπῳ, ὅτι ἐν τῷ ἀνθρώπῳ εἰσὶν ἐναντίαι ὀρέξεις, ὧν θατέρᾳ μὲν οἱ ἐγκρατεῖς ἕπονται, θατέρᾳ δὲ διαμάχονται. Φησὶ τοίνυν ὅτι ἐπειδὴ δυνατὸν γίνεσθαι ὀρέξεις ἐναντίας ἀλλήλαις, καὶ τοῦτο συμβαίνει ὁπόταν ὁ λόγος τῇ ἐπιθυμίᾳ ἐναντιῶται·

---

2-3 *ἐν τοῖς πρακτικοῖς* sic codd., latin: *in speculativis* 6 *καὶ* après *κινοῦντα* om B 36 *πρῶτον* après *τοίνυν* add B

Ε.Υ.Δ. ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦτο γίνεται καὶ συμβαίνει ἐν τοῖς ἔχουσιν αἴσθησιν χρόνου, τουτέστιν ἐν τοῖς γινώσκουσι μὴ μόνον τὸ ἐνεστώς, ἀλλὰ καὶ τὸ παρεληλυθὸς καὶ τὸ μέλλον θεωροῦσιν, διότι ὁ νοῦς ἐνίοτε ἀπό τινος ἐπιθυμητοῦ ἀνθέλκειν κελεύει διὰ τὴν θεωρίαν τοῦ μέλλοντος, ὥσπερ τῷ θερμαινομένῳ ἐκ μὲν τῆς κρίσεως τοῦ νοῦ δοκεῖ ἀφεκτέον εἶναι τοῦ οἴνου, ἵνα μὴ ἡ θέρμη αὐξηθεῖσα διακαὴς γένηται πυρετός, ἀλλ' ἡ ἐπιθυμία διεγείρει τοῦτον πρὸς τὸ μετασχεῖν οἴνου διὰ τὸ ἤδη, τουτέστι διὰ τὸ παρόν τε καὶ ἐνεστώς· φαίνεται γὰρ τὸ ἐνεστὼς ἡδὺ ἁπλῶς ἡδὺ εἶναι καὶ ἀγαθὸν διὰ τὸ μὴ θεωρεῖσθαι τὸ μέλλον.

Ἐφεξῆς λέγων· Εἴδει μὲν οὖν, δείκνυσι τὴν τάξιν τῆς κινήσεως, καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον δείκνυσι πῶς τὰ κινοῦντα εἰσὶν ἕν, καὶ πῶς πλείῳ· δεύτερον, πῶς τέτακται ταῦτα πρὸς ἄλληλα, ἐν τῷ· Ἐπεὶ δὲ τρία εἰσίν· τρίτον, διορίζεται περὶ ἑκάστου τῶν εἰς τὴν κίνησιν ἀνηκόντων ἢ ζητουμένων κεφαλαιωδῶς καὶ συντόμως. Φησὶ τοίνυν, πρῶτον, ὅτι εἰ τὰ κινοῦντα θεωροῖντο εἰδικώτερον, ἓν ἔσται τὸ κινοῦν, δηλονότι τὸ ὀρεκτὸν ἢ τὸ ὀρεκτικόν, διότι ἐν τοῖς ἄλλοις ἅπασι τὸ πρῶτον κινοῦν ἐστὶ τὸ ὀρεκτόν· τοῦτο γάρ ἐστι κινοῦν μὴ κινούμενον, καθόσον ἐστὶ φανταστόν, ἢ νοητόν. Φανερὸν γάρ ἐστιν ὅτι τὰ δεύτερα κινοῦντα οὐ κίνουσιν, εἰ μὴ καθόσον μετέχουσι τοῦ πρώτου· ὅθεν πάντα συνέρχονται ἐν τῷ εἴδει τοῦ πρώτου κινοῦντος. Εἰ δὲ καὶ πάντα τὰ κινοῦντά εἰσιν ἓν κατὰ τὸ εἶδος τοῦ πρώτου κινοῦντος, ὅμως τῷ ἀριθμῷ πλείω εἰσίν.

Ἐφεξῆς λέγων· Ἐπεὶ δέ ἐστι τρία, ἀποδίδωσι τὴν τάξιν τῆς κινήσεως. Καὶ φησὶν ὅτι τρία εἰσὶ τὰ εὑρισκόμενα ἐν τῇ κινήσει, ἓν μέν, τὸ κινοῦν, καὶ ἄλλο, τὸ ὄργανον ᾧ τὸ κινοῦν | κινεῖ, καὶ τρίτον, τὸ κινού- f. 344
μενον. Τὸ δὲ κινοῦν διπλοῦν ἐστιν· ἓν μὲν ἀκίνητον, ἕτερον δὲ κινοῦν κινούμενον. Ἐν τῇ κινήσει τοίνυν τοῦ ζῴου κινοῦν μὲν ἀκίνητον, τὸ πρακτὸν ἀγαθόν, ὅπερ κινεῖ τὴν ὄρεξιν, καθόσον ἐστὶ νοητόν, ἢ φανταστόν. Ἀλλὰ τὸ κινοῦν κινούμενόν ἐστιν αὐτὴ ἡ ὄρεξις, διότι πᾶν τὸ ὀρεγόμενον, καθὸ ὀρέγεται, κινεῖται, καὶ αὐτὸ τὸ ὀρέγεσθαί ἐστιν ἐνέργειά τις ἢ κίνησις, καθό ἐστι κίνησις ἡ τοῦ τελείου ἐνέργεια, ὡς προείρηται περὶ τῆς ἐνεργείας τῆς αἰσθήσεως καὶ τοῦ νοῦ. Τὸ δὲ κινούμενον ἐστὶ τὸ ζῷον· ὄργανον δὲ ᾧ κινεῖ ἡ ὄρεξίς ἐστι, σωματικόν τι δηλονότι, ὅπερ ἐστὶ πρῶτον ὄργανον τῆς κινήσεως. Καὶ διὰ τοῦτο περὶ τῶν τοιούτων ὀργάνων θεωρητέον ἐστὶν ἐν ταῖς κοιναῖς ἐνεργείαις τῆς ψυχῆς καὶ τοῦ σώματος. Διορίζεται γὰρ περὶ τούτου ἐν τῷ βιβλίῳ τῷ περὶ τῆς αἰτίας τῆς τῶν ζῴων κινήσεως· ἐν τούτῳ γὰρ τῷ βιβλίῳ σκοπὸν ἔχει διορίζεσθαι περὶ τῆς ψυχῆς καθαυτήν.

Ἐφεξῆς λέγων· Νῦν δὲ κεφαλαιωδῶς, διορίζεται περὶ τοῦ ὀργά-

---

7 *πρὸς τὸ* om B  8 *καὶ* avant *ἡδὺ* (1°) om B  22 *εἰσὶ* B  27 *καθὸ* B

νου τῆς κατὰ τόπον κινήσεως, καί φησιν ἐν κεφαλαίῳ, τουτέστι συνοψισμένως, ὅτι τὸ πρῶτον κινοῦν τοπικῶς δεῖ τοιοῦτον εἶναι, ὡς ἐν ταὐτῷ καὶ ἀρχὴν εἶναι καὶ τέλος τῆς κινήσεως, ὥσπερ ἔν τινι περιφορᾷ, ἐν ᾗ ἐστι καὶ κυρτὸν καὶ κοῖλον, ὧν θάτερον μέν ἐστιν ὥσπερ τέλος θάτερον δὲ ὥσπερ ἀρχὴ τῆς κινήσεως· τὸ μὲν γὰρ κοῖλον ἐστὶν ὡς τὸ τέλος, τὸ δὲ κυρτὸν ὡς ἡ ἀρχὴ εἶναι δοκεῖ τῆς κινήσεως· κατὰ μὲν γὰρ τὴν κοιλότητα συνέλκεται ἐν ἑαυτῷ, κατὰ δὲ τὴν κυρτότητα κατανοεῖται ἡ ἔκτασις αὐτοῦ, διότι ἀπ' αὐτοῦ γίνεται ἡ ἀρχὴ τῆς κινήσεως τῆς ὤσεως. Καὶ διότι ἐν αὐτῷ ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως καὶ τὸ τέλος, τὴν δὲ τῆς κινήσεως ἀρχὴν δεῖ εἶναι ἀκίνητον ἐν ἑκάστῃ κινήσει, ὥσπερ κινουμένης τῆς χειρός, ἠρεμεῖ ὁ βραχίων, καὶ κινουμένου τοῦ βραχίονος, ἠρεμεῖ ὁ ὦμος, καὶ οὕτω πᾶσα κίνησις ἀπό τινος ἀκινήτου πρόεισιν, δεῖ ἐν τῷ πρώτῳ τῆς κινήσεως ὀργάνῳ, ὅπερ ἐστὶν ἡ καρδία, εἶναί τι ἠρεμοῦν, καθόσον ἐστὶν ἀρχὴ τῆς κινήσεως, καὶ εἶναί τι ἄλλο κινούμενον, καθόσον ἡ κίνησις περαίνει καὶ ὁρίζεται πρὸς αὐτό, καὶ τὰ δύο ταῦτα ἐν τούτῳ, δηλονότι τὸ ἠρεμοῦν καὶ τὸ κινούμενον, εἰσὶ τῷ λόγῳ διάφορα, ἀλλὰ τῷ ὑποκειμένῳ καὶ τῷ μεγέθει εἰσὶν ἀλλήλων ἀχώριστα. Καὶ ὅτι δέον ἐστὶν ἐκεῖνα εἶναι ἀρχὴν κινήσεως καὶ τέλος, καὶ ἀκολούθως ἠρεμοῦν καὶ κινούμενον, φανερόν ἐστιν ἐκ τοῦ πᾶσαν κίνησιν τοῦ ζῴου συγκεῖσθαι ἐκ τῆς ὤσεως καὶ τῆς ἕλξεως. Ἐν δὲ τῇ ὤσει τὸ κινοῦν ἐστὶ μόνον ἀρχὴ τῆς κινήσεως, διότι τὸ ὠθοῦν ἀφίστησιν ἀφ' ἑαυτοῦ τὸ ὠθούμενον· ἀλλ' ἐν τῇ ἕλξει τὸ κινοῦν ἐστιν ὅρος καὶ πέρας τῆς κινήσεως, διότι τὸ ἕλκον πρὸς ἑαυτὸ κινεῖ τὸ ἑλκόμενον. Καὶ διὰ τοῦτο δεῖ τὸ πρῶτον ὄργανον τῆς κατὰ τόπον κινήσεως ἐν τῷ ζῴῳ καὶ ὡς ἀρχὴν εἶναι τῆς κινήσεως, καὶ ὡς τέλος. Καὶ διὰ τοῦτο δεῖ εἶναί τι ἐν τῷ αὐτῷ τὸ μένον, κἀντεῦθεν τὴν κίνησιν ἄρχεσθαι, ὥσπερ ἐν τῇ κυκλικῇ φαίνεται κινήσει· τὸ γὰρ κατὰ περιφορὰν κινούμενον σῶμα διὰ τὴν τοῦ κέντρου καὶ τῶν πόλων ἀκινησίαν οὐκ ἀμείβει καθόλου τὸν τόπον εἰ μὴ ἴσως τῷ λόγῳ, ἀλλὰ τῷ ὑποκειμένῳ κατὰ τὸ ὅλον μένει ἐν τῷ αὐτῷ τόπῳ. Τὰ δὲ μέρη ποικίλλουσί τε καὶ ἐξαλάττουσι τὸν τόπον τῷ ὑποκειμένῳ, καὶ οὐ τῷ λόγῳ μόνον. Οὕτως ἔχει καὶ ἐπὶ τῆς κινήσεως τῆς καρδίας. Ἡ γὰρ καρδία ἐν τῷ αὐτῷ μέρει τοῦ σώματος μένει πεπηγυῖα, ἀλλὰ κινεῖται κατὰ συστολήν τε καὶ ἔκτασιν, ἵνα ποιῇ τὴν κίνησιν τῆς ὤσεως καὶ τῆς ἕλξεως, καὶ οὕτω τρόπῳ μέν τινι ἐστὶ κινητόν, τρόπῳ δέ τινι ἠρεμοῦν.

## Leçon XVI.

Ὅλως μὲν οὖν ὥσπερ εἴρηται. Διορισάμενος ὁ Φιλόσοφος περὶ τῆς κινητικῆς ἀρχῆς κατὰ τὴν τοπικὴν κίνησιν ἐν κοινῷ τε καὶ

2 *τοπικῶς* corrigé de *ὀργανικῶς* A 4 *τέλος*: *πέρας* B 5 *ὡς τό*: *ὥσπερ* B 17 *ἐκεῖ* B 20 *τὸ κινούμενον* B 36 *Ὅλως*: *Ἄλλως* B